A Οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.
Ἀλλ' ὦ φίλη Λάκαινα· σὺ γὰρ ἐὰν γένῃ
Μόνη μετ' ἐμοῦ τὸ πρᾶγμ' ἂν σωσαίμεθ' ἔτι
Ξυμψήφισαί μοι. Λα. χαλεπὰ μὲν ναὶ τὼ σιώ.
Γυναῖκας ὑπνοῦν ἐστ' ἄνευ ψωλᾶς μόνας
Ὅμως γε μὰν δεῖ. τᾶς γὰρ εἰράνας μάλ' αὖ.
Λυ. Ὦ φιλτάτη σὺ καὶ μόνη τούτων γυνή.
B Κα. Εἰ δ' ὡς μάλιστ' ἀπεχοίμεθ' οὗ σὺ δὴ λέγεις,
Ὃ μὴ γένοιτο, μᾶλλον ἂν διὰ τουτογὶ
Γένοιτ' ἂν εἰρήνη. Λυ. πολύ γε νὴ τὼ θεώ.
Εἰ γὰρ καθήμεθ' ἔνδον ἐντετριμμέναι
Κἀν τοῖς χιτωνίοισι τοῖς ἀμοργίνοις
Γυμναὶ παρείοιμεν δέλτα παρατετιλμέναι
Στύοιντ' ἂν ἄνδρες κἀπιθυμοῖεν πλεκοῦν,
Ἡμεῖς δὲ μὴ προσίοιμεν, ἀλλ' ἀπεχοίμεθα,
C Σπονδὰς ποιήσαιντ' ἂν ταχέως εὖ οἶδ' ὅτι.
Λα. Ὁ γ' ὦν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πο
Γυμνᾶς παρενιδὼν ἐξέβαλ' οἰῶ τὸ ξίφος.
Κα. Τί δ' ἢν ἀφιῶσ' ἄνδρες ἡμᾶς, ὦ μέλε.
Λυ. Τὸ τοῦ Φερεκράτους κύνα δέρειν δεδαρμένην.
Κα. Φλυαρία ταῦτ' ἐστὶ τὰ μεμιμημένα.
Ἐὰν λαβόντες δ' ἐς τὸ δωμάτιον βίᾳ
Ἕλκωσιν ἡμᾶς. Λυ. ἀντέχου σὺ τῶν θυρῶν.
D Κα. Ἐὰν δὲ τύπτωσιν. Λυ. παρέχειν χρὴ κακῶς.

*Nam præter æquor alueosq; nil sumus.*
*Ast ô Lacana, namq; si mecum voles*
*Vel sola adesse, nostra erit res in vado,*
*Tuum adde nostro calculum.* LA. *Durum est nimis*
*Dormire solas mentula absque fœminas,*
*Tamen necesse est, Pax enim valde expedit.*
LVS. *O omnium harum sola dulcis fœmina.*
CA. *Quòd si abstinemus maximè à re quam modò*
*Dixti (quod absit) Paxne propterea statim est*
*Ventura nobis?* LVS. *per deos multò magis:*
*Nam si sedemus intus extersa cute*
*Stamusq; nudæ linea in subucula,*
*Vulsis nitentes Eugij ex horto pilis,*
*Tunc arrigentes iungere ardebunt viri,*
*Sed temperemus abnuentes iungier,*
*Fœdus ferire mox volent, certò scio.*
LA. *Sic mala nudæ quum videret coniugis*
*Abiecit ensem victus Atrides minor.*
CA. *Quid si, ô misella, nos viri reliquerint?*
LV. *Glubas canem degluptam ait Pherecrates.*
CA. *Nugæ ista tantum & stulta sunt simulamina,*
*Quid si in cubiculum nos trahant ingratijs.*
*Manu prehensas?* LV. *ad fores obnitere.*
CA. *Si verberaßint?* LVS. *Tum malignè illud duis*

BISETVS. Οὐδὲν γάρ ἐσμεν] ἀντὶ τοῦ, οὐδὲν γὰρ ἄλλο ἐσμὲν πλὴν θάλασσα, καὶ σκάφη ἐν αὐτῇ πλέοντα. μετωνυμικῶς δὲ Ποσειδῶνα εἶπεν ἀντὶ τὴν θάλασσαν. οὕτω δὲ τὴν γυναικῶν κουφόνοιαν, καὶ τῆς γνώμης ἀστασίαν δηλοῖ. καὶ γὰρ τῆς θαλάσσης, καὶ τῆς σκάφης ἀνέμοις λαμπροτέροις κινουμένης οὐδὲν ἀστατώτερον. τούτῳ δὲ παραπλήσιον καὶ τὸ θρυλλούμενον.

Πῦρ, καὶ θάλασσα, καὶ γυνὴ κακὰ τρία.

ὥσπερ γὰρ τὸ πῦρ, καὶ ἡ θάλασσα φθείρει πλεῖστα τῶν χρημάτων τοῖς ἀνθρώποις χρησιμωτάτων, καὶ πλείστων κακῶν τοῖς ἀνθρώποις ἐστὶν αἴτιος, οὕτω καὶ περὶ τοῦ θηλυκοῦ γένους φρόνει, καὶ γίνωσκε. τούτων καὶ ὁ Σουίδας μνημονεύων λέγει παροιμίαν εἶναι ἐπὶ τῶν ἐγκυλινδουμένων τῷ αὐτῷ πράγματι, ἄλλο δὲ μηδὲν νοεῖν ἀνεχομένων. ὁ δὲ νοῦς ἐστι. πρὸς οὐδὲν ἄλλο ἐσμὲν ἐπιτήδειοι εἰ μὴ πρὸς τὸ συνουσιάζειν, καὶ τίκτειν. ὁ γὰρ Ποσειδῶν ἐμίγη τῇ Τυροῖ, καὶ ἐγέννησε Νηλέα, καὶ Πελίαν. Σ. Ξυμψήφισαί μοι.] ξυμψηφίζειν, καὶ ξυμψηφίζεσθαί τινι, κυρίως μὲν δηλοῖ τὸ σύν τινι ψήφους φέρειν, καὶ αὐτῷ ἐν τῇ ψηφοφορίᾳ, καὶ τινῶν πραγμάτων ἐπικυρώσει συλλαμβάνειν, ὡς καὶ ἐνταῦθα. δύναται μέντοι σημαίνειν καὶ τὴν ἁπλῶς συγκατάθεσιν, ἣν τις συγκατατίθεται ἑτέρῳ ἔν τινι πράγματι, εἴτε διὰ τὴν συνδόκησιν, εἴτε καὶ διὰ τὴν χάριν, ἣν εὐνοίας, καὶ φιλίας ἕνεκα τοῖς ἄλλοις χαρίζεσθαι βούλεται. ξυμψηφίζειν οὖν μεταφορικῶς τὸ τὴν αὐτὴν γνώμην ἔχειν, τὸ συμφωνεῖν, τὸ συνδοκεῖν. Χαλεπὰ μέν.] ὁ τούτων νοῦς ὅδε. ναὶ τὼ θεὼ χαλεπὸν μέν ἐστι γυναῖκας ὑπνοῦν καὶ κοιμᾶσθαι μόνας ἄνευ ψωλῆς, καὶ πέους. ὅμως δὲ τοῦτο ποιήσω, ἐὰν δέῃ ἐμὲ τοῦτο ποιεῖν, τῆς γὰρ εἰρήνης μάλα πάλιν ἐπιθυμῶ. Λάκαινα δὲ Λακωνικῶς ταῦτα προφέρει. Ὦ φιλτάτη σὺ καὶ μόνη.] καὶ μόνη τούτων ἁπασῶν τῶν δεῦρο συνελθουσῶν ἀξία καλεῖσθαι γυνή. σοὶ μόνῃ τὸ τῆς γυναικὸς ὄνομα σὺν δίκῃ πρέπει καὶ προσήκει. Εἰ δ' ὡς μάλιστα.] ταῦτα νοητέον οὕτως. εἰ δὲ ὡς μάλιστα ἡμεῖς ἀπεχοίμεθα οὗ σὺ λέγεις, τουτέστι τοῦ πέους. ἤ, εἰ ὡς μάλιστα ἀπεχοίμεθα τῆς συνουσίας, ἧς ἀφεκτέα νῦν σὺ λέγεις (ὃ μὴ γένοιτο. οὐ γὰρ πολὺν χρόνον τούτου ἀπέχεσθαι
E δυναίμεθα) ἆρα διὰ τοῦτο, διὰ τοιαύτην ἐγκράτειαν μᾶλλον, καὶ ῥᾷον, ἢ θᾶττον εἰρήνη γένοιτο ἄν; Ἔνδον ἐντετριμμέναι.] οἴκοι κεκαλλωπισμέναι. ἐντρίβεσθαι τὸ πρόσωπον. τὸ ψιμμυθιοῦσθαι. τῷ ψιμμυθίῳ τὸ πρόσωπον χρίειν, ἵνα τὸ κάλλος μεῖζον δοκοίη. Τοῖς ἀμοργίνοις.] ταύτης τῆς λέξεως πολλαὶ παρὰ τοῖς λεξικογράφοις εὑρίσκονται σημασίαι. οὕτω γὰρ ὁ Στέφανος περὶ πόλεων. Ἀμοργὸς, νῆσος μία τῶν Κυκλάδων ἔχουσα πόλεις τρεῖς. καὶ μετ' ὀλίγον. τὸ δὲ ἀμόργινος χιτὼν, χρώματος ἴδιον. ὁ δὲ Σουίδας. Ἀμόργεια χρώματος εἶδος, ἀπὸ
F νήσου Ἀμοργοῦ οὕτως, ὡς Θήρεια ἀπὸ Θήρας νήσου. ὁ αὐτὸς, Ἀμόργινον, ὅμοιον βύσσῳ, καὶ πολυτελές. λέγεται καὶ ἀμοργῖνα θηλυκῶς. καὶ ἀμοργὶς κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς γίνεται ἐνδύματα ἀμόργινα λεγόμενα. ἔστι δὲ ἡ ἀμοργὶς ὅμοιον ἀλεπίστῳ λίνῳ. περιλεπίζουσι δὲ αὐτὸ, καὶ ἐργάζονται. ἔστι δὲ σφόδρα λεπτοῦ ὑπὸ τὴν βύσσον ἢ τὴν κάρπασον. Εὐστάθιος δὲ, ἀμόργη, πορφύρα κατὰ Γλῶσσαν. Ἡσύχιος δὲ, Ἀμοργὶς, καλάμη τις, ἐξ ἧς ἔνδυμα γίνεται, ἢ ὕφασμα, ἢ χιτών. καὶ τὸ μέγα Ἐτυμολογικὸν, ἀμόργινος χιτωνίσκος, παρὰ τὸ ἀμόργην, ὅ ἐστιν εἶδος χρώματος
G ὅμοιον βύσσῳ. καθὰ καὶ Θηραῖον, τὸ ἀπὸ Θήρας τῆς νήσου. ἐκ δὲ τούτων ἁπάντων δῆλον τοὺς ἀμοργίνους χιτῶνας, εἴτε ἀπὸ τόπου εἴτε ἀπὸ χρώματος, εἴτε ἀπὸ τῆς ὕλης ὄνομα ἔλαβον, εἶδος πολυτελοῦς ἐνδύματος γενέσθαι, ὅπερ αἱ πλούσιοι, τρυφεραὶ, καὶ ἁβροδίαιτοι γυναῖκες χρῆσθαι ἐφίλουν.

Πα-